ἸΩΣΉΦΟΥ ΣΚΑΛΑΝΟΥ͂
γενέθλια.

# IDYLLION

*In Natalem illustris & generosi viri,*

Dn. IOSEPHI SCALIGERI, INGENIO, DOCTRINA, Sapientia, Virtute, meritisq; in rempubl. clarissimi, amoris & honoris testificandi causa editum

à

*LAVRENTIO RHODOMANO*
*Cherusco, P. C. & Acad. VVitemberg. Profess. Publ.*

Nonis Sextil.

ANNO CHRISTI cIↃ. IↃ. CII.

VVITEBERGAE
Excudebat Iohannes Faber.

Biogr. erud.
D. 1660, 8

Sächsische Landesbibliothek –
Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/ppn357171527/1
gefördert von der
Deutschen Forschungsgemeinschaft DFG

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/ppn357171527/2
gefördert von der Deutschen Forschungsgemeinschaft

# ΓΕΝΕΘΛΙΑ

# ΙΩΣΗΦΟΥ ΤΟΥ ΣΚΑΛΑΝΟΥ, ἈΝΔΡΟΣ ΕΥΓΕΝΕΙΑ ΤΕ

## καὶ σοφίᾳ διαφέροντος.

Ἤλυθες ὦ τρίλλιστον ἐμοὶ καὶ πάντεσιν ἦμαρ,
Οἷς πυλεῶνας ἀνοίξας ἐφημερίου βιότοιο,
Ἐκ θεόθεν προφανὲς, καὶ ἑκάστῳ μοῖραν
ὀπάζον, (ναι.
Ἣν ταμίης πάντων τεκμήρατο σύμφορον εἶ-
Ἄλλα μὲν ἄλλοις νεῖμεν. ἐμοὶ δὲ μάλιστα
προσκεῖται
Ἅρμενα πρῶτα θεῷ, μετέπειθ' ἥρωσιν, ἀείδειν.
Οἷς ἐνὶ δὴ Σκαλανὸς ΙΩΣΕΦΟΣ ἔξοχα λάμπει.

Apostrophe gratulatoria ad D. Natalem IOSEPHI SCALIGERI.

Χαῖρέ μοι ὦ κλυτὸν ἦμαρ, ὃ τηλίκον ἄνδρα λοχεύσας,
Σπέρματος ἐκπεφυῶτα μεγασθενέων ἡρώων.
Αἴθε μοι ἐκ μουσέων τοῖος πνεύσειεν ἀήτης,
Τοῖόνδ' εὐεπίης ἀδινῆς βλύσσειε ῥέεθρον,
Ἡρώοις ἐπέεσσιν Ἰώσεφε γηρυσαίμην
Σοὺς προγόνους μεγάλοισιν ἐπ' ἔργμασιν ἀμφιβοήτους.
Ὁσσαπίαισι τ' ἀρετῆσι μετ' ἀνδράσι κυδιάασκον.
Ὡς εὐρυκρείοντες ὑπ' ἔθνεα πολλὰ δάμασσαν,
Ἰθυδίκους νώμησαν ἐνὶ πολίεσσι θέμιστας,
Καὶ πινυτῶς τολύπευσαν ἐνυαλίοιο κυδοιμούς.

Majorum laudes perstringuntur.

Ἔννεπον ἂν, κρατὺς ὥς ποτ' Ἀλανὸς, ῥίζα φυτείης,
Δεινοβίην Ἀτίλαν, τὸν ὑπερφιάλων πρόμον Οὔνων,
Ἀντίος ἐντροπάλιζεν, ὅτ' ἔθνεα μυρί' ἐλαύνων
Ἵετο πρόχνυ κακῶς Ἰταλῶν πέδον ἐξαλαπάζειν.
Αὐτὰρ ὁ τόνδ' ἀπάλεξεν ἑῶν τότε κάρτεϊ χειρῶν,

Alanus Attilam Hunum profligat.

*Venetiarum fundationem promovet: Veronam instaurat.*

Ἀγχιόροισθ' Ἐνετοῖσιν ἐχραίσμεεν, ἄστυ πολίσσαι
Κύδιμον ἐν λίμναις μεσάτης Ἀδριητίδος ἅλμης.
Βηρώνην δ' ἣν Βρέννος ἀρήϊος ἔκτισε Κελτῶν
Ὄρχαμος, αὖτος ἔγειρε τὸ δεύτερον, εὖτέ μιν Ὗννοι
Ἐκ νεάτων πέρσαντες ἐδηώσαντο θεμέθλων.

*Ditricus Bernensis, Tyrannorum domitor; Germanis decãtatus.*

Ἔννεπον ὡς Θεορῖκος, ἑὼν ἡγωνὸς Ἀλανοῦ,
Ἔργματα δεινὰ τέλεσσε, κατ' Ἰταλιῶτιδα χώραν,
Καὶ χθόνα Γερμανῶν. βριαροὺς δ' ἔτμηξε τυράννους.
Ἠλιβάτοισι γίγασιν ἐοικότας, οὐκ ὀνομαστούς.
Ἔνθεν εὐκλείη μιν ἐρέψατο πάντοθι γαίης.
Καὶ νῦν Τευτονίδαι μιν ἑαῖς κλείουσιν ἀοιδαῖς.

*Scaligerorum gens latè diffusa per Europam.*

Ἔννεπον, ὡς ἀπὸ τοῦδε νέη βλάστησε γενέθλη
Χώραις ἐν πολέεσσι πανύσπορος. ἔντ' Ἰταλοῖσιν,
Ἔντ' αὖ Βοιαρίοις, καὶ Παννοσιν, Ἰλλυριοῖσί τε,
Πάντη δ' ἀλκεμάχου πόρθους φίτυσεν Ἄρηος,
Ἔξοχον εἰρήνῃ τε μόθῳ τ' ἐνὶ τηλεθόωντας.

*Gothos: Langobardos; Bojarios & Turcas propulsârunt.*

Ἔννεπον, οἷα Γόθων μενεδήϊον ἔθνος ἄλαλκον,
Ἐς Σάλωνα φέροντας ἐλέθρια πήματ' Ἄρηος.
Ὕστατον ὡς πεήνιξαν ἀγόν ποτε Λαγγοβάρδων.
Τασσιλίωνα δ' ἄμερσαν ἀγηνορίης τε καὶ ἀλκῆς,
Βοιαρίων βασιλῆα. καὶ ὡς Ταταρήσιον ἔθνος
Κάββαλον ἐν κονίῃς, ῥύσαντο δὲ Πάννοιος ἀρχήν.
Ὡς Βοσίνοις ἐφύτευσαν ἀλεξιμόθους βασιλῆας,
Τυρκοῖς δ' ἀντιπάλους, καὶ ἀμύντορας Εὐρωπείῃ.

*VERONENSE imperium denuo constituerunt.*

Ἔννεπον αὖ, λιπαρῆς Βηρωνίδος οἷα πόληος
Κοιρανίην στήσαντο, καὶ εὐκλειῶς πρυτάνευσαν.
Ὡς κούρας νύμφευσαν ἐϋσκήπτροισι Μονάρχαις,
Τῶν δ' αὖτις γήμαντο. καὶ ὡς τιμῇ τε καὶ ὅπλοις
Φραδμοσύνῃ τ' ἀρετῇ τε διηνεκὲς ἰσοφάριζον
Ἀρχοῖς κυδίστοισι, παλαιοτάτοισπερ ἐοῦσιν.

*IVLIVS CAESAR*

Ἔννεπον ἂν γενέτην, τὸν Καίσαρος οὔνομ' Ἰούλου
Ἐκπρεπέως φορέοντα, καὶ ἔννεπον οὐδὲν ἁμαρτών,

Ὡς

*Scaliger virtute ac Sapientia par antiquis.*

Ὡς γένετ' ἀρχαίοις ἐπιείκελος ἡρώεσσιν,
Ἀκμὴν ὀξυπέτοιο νόου καὶ σώματος ἀλκήν.
Λήματος ἠνορίῃ, ψυχῆς τ' εὐμνήμονος αἴγλῃ,
Παντας ἑῆς γενεῆς ἀπεκαίνυτο. βιβλία τεύξας
Οἷάπερ οὐκ ὀνόσαιτο Πλάτων, καὶ τοῦδε μαθητὴς
Ὀξὺς Ἀριστοτέλης, σοφίης δ' ἔνι μυελὸς αὐτῆς.
Ὄζος Ἄρηος ἔην. Φοίβου λάτρις, ἔρνος Ἀθήνης.
Καὶ χαρίτων μύστης, ἱερὸς Μουσέων ὑποφήτης.
Ἰητρῶν ὄχ' ἄριστος ἅμα, κρατερός τ' αἰχμητής,
Καὶ σοφὸς, ἀρχαίοις ἐναλίγκιος, ἠπου ἀρειῶν.

*Excusatio infirmitatis & apostrophe ad IOSEPH. SCALIG.*

Ἔννεπον ἂν τοιαῦτα, καὶ ὡς ἥρωσιν ἔοικεν.
Ἀλλ' ὑπόλιζον ἐμοὶ σθένος, ἄλλα δὲ καιρὸς ἐπείγει,
Ἀνδράσιν ἢ τόσσοισι νέμειν αὐτάρκεα μοῖραν,
Καὶ μάλα περ μεμαῶτι. Σὺ γοῦν λοῖσθος καὶ ἄριστος
ΣΚΑΛΑΝΩΝ γεραρῆς μοι ἐφίστασαι ἔργον ἀοιδῆς,
Παῖ μεγάλου μέγα πατρὸς; ΙΩΣΕΦΕ, θειότατ' ἀνδρῶν.
Σοὶ τάδ' εὐστάζειν, ἑλικωνίδος ἔκποθε κρήνης,
Σὸν καὶ ἐμὸν, διὰ δ' ἀμφὶ, γενέθλιον ἦμαρ ἀνώγει.

*Natus est Anno Christi cI). I) XL. Non. Sext.*

Ἦν ἔτος ᾧ Φοῖβος θερμὰς ξήραινεν ἀλωὰς,
Ψυχροτέρας δὲ πέπαινεν ἔχειν βοτρυόεσσαν ὀπώρην,
Εὖτε μετὰ Χριστοῖο γενέθλια φαίδιμ' ἀπῆλθον
Πεντήκονθ' ἑκατὸν δεκάδες, πίσυρές τ' ἐνιαυτῶν.
Δὴ τότ' Ἀγιναίοις ὑπὸ τείχεσι Νιτιοβρίγων
Ανδιέτη, φύτλης Ρωκηίδος εὐγενὲς αἷμα,
Πατρὶ γόνον σεμνῆσιν ἐπ' ἀγκαλίδεσσιν ἔθηκε,
Πρωὶ μάλ', εὖτ' ἠὼς ῥοδοδάκτυλος ἦμαρ ἄνοιξε
Πέμπτον, ἐὺν κατὰ μῆνα φερώνυμον Αὐγούστοιο.

*Signa felicis ortus.*

Ἐνθάδε κυκλοτεροῦ τηλαυγέα φέγγε' ὀλύμπου
Στιλπνοτέρους, φάτις ἐστὶν, ἀπὸ σπινθῆρας ἵηλαι,
Καὶ χθόνα θαυμασίως βλαστήματα καινὰ λοχεῦσαι,
Οἷάπερ εἰαριναῖς φιλέει δαιδαλλέμεν ὥραις.
Νύμφαι δ' εὐκλύστοιο παρὰ προχοῇσι Γαρουνᾶ
Χάρματι παλλόμεναι θαλερὰς στήσαντο χορείας.

*Genethliacũ* Κοῦρον δ' αὖθι θεαὶ Παρνησίδες ἀμφιέπουσαι
*à Musis de* Ἰλαδὰ τερπέμεναι τὸ γενέθλιον ἠπύσαντο.
*cantatum.* Ἰδμοσύνης ἀνέτειλε νέον καὶ ἀειφανὲς ἄστρον,
Σκαλανῶν οἴκου θάλος ἔξοχον. ὢ φάος οἷον!
Οἷον ἀνὴρ ὅδε κόσμον ἐπισήμησιν ἀνάψει!
Παντοδαπῶν μέγα θαῦμα βροτῶν, νέος ἕσπερος αἰή.
Εὐμαθέων φοῖνιξ ἀνδρῶν, καύχημα γενέθλης.
Ἀρχεγόνους σοφίῃ μὲν ὑπερβάς, πατρὶ δ' ὅμοιος.
Τοιάδε μαντεύσαντο, καὶ εἰς τέλος ἐξίκετ' ὀμφή.
*Institutio* Πρῶτα μὲν ἐκ γενέταο μαθήματα κοῦρος ἄφυσσεν,
*domi;* Ἐκ κρουνοῦ σοφίης. ὁ δέ οἱ φυτοεργὸς ἐτύχθη
Βλάστην ὃς σπέρμηνε, καὶ ἐξήσκησε πρὸς ἄκρον.
Πάτρη δ' Αὐσονίοιο μεγακλήεντος ἀοιδοῦ
*Burdegalæ;* Ῥωμαϊκῶς λαλέειν ἀπαλὰ φρονέοντα δίδαξεν.
Ἐν λογικοῖσι δ' ἄεξε πατὴρ λογιώτατος ἀνδρῶν,
Χεῦε δὲ καὶ λιγυρῆς ποιήσιος εἰς φρένας ὄλβον.
Ἔνθεν ἀοιδόπατος, πέσηστ' εὔιδρις ἀοιδῆς.
Λουτετίην δ' ἐπιβὰς κλεινὸν Τορνῆβον ἄκουσεν
*Lutetiæ.* Εἰς χρόνον ἠβαιόν· πλεῖον δέ μιν ἔμφυτος ὁρμὴ
Καὶ πόνος, ἤ τινά που λογίων παιδεύματ' ὄφελλον.
Ὀξὺς ἔρως μιν ἔτυψε μαθεῖν ἑλληνίδα φωνήν,
*Αὐτομάθεια.* Ἧς ἄτερ οὐδὲν ἀνήρ τις ἐπίσταται ὀξύνοός περ.
*Græcæ &* Εἰς χέρα Μαιονίδην ἀνελάζυτο, πυκνὰ δ' ἀνέγνω.
*Hebrææ Lin-* Οὐ μεὶς ἐκτετέλεστο, καὶ ἦν εὔγλωσσος Ὅμηρος.
*guæ; itemq;* Ἑβραίων τάχα νόσφι διδάκτορος ἔμμαθεν αὐδήν,
*poësis, Astro-* Ἀγρύπνοις μελέτῃσι, νόου τ' ὀξύφρονος ὀργῇ.
*nomiæ & cæ-* Αὐτὴ δ' οὐρανίη μιν ἑῆς εἰς μυστικὰ τέχνης
*ter. Artium* Ἤγαγε διφῶντα νόμους περιδινέος αἴθρης,
*perceptio.* Ἔξοχα δ' ἀπλανέεσσι μετ' ἀστράσιν ἑπτὰ πλανήτας.
Σὺν δ' ἄρ' ἅπαντα βάλοντο θεαὶ Πίμπληθεν ἅπασαι.
Οἷς μιν ἀπαρτίσαιντο τελεσφόρον ἄνδρα γενέσθαι.
*Morum hu-* Τοῖς δ' ἀγαναὶ χάριτες κολοφῶν' ἐπὶ λαμπρὸν ἔθηκαν,
*manitas.* Μείλιχα πάντ' ἔμεναι καὶ ἐνηέα, χρηστά τε πάντως.

Ὦ φίλ

*Lucubrationes & monumenta.*

Ὦ φίλε Χριστὲ, τόκων οἵων ὤδινε γενέθλην!
Τίς κεν ἅπαντ' ἐνέπῃσι, καθ' ἓν μόνον ἐξονομήνας;
Κοῦρος ἐὼν σκοτόεντα Λυκόφρονα θῆκε Λατῖνον
Εὐφραδέως. οὐ κάλλιον ἂν τόδε Μοῦσα λιγαίνῃ.
Ἄλλα παρατροχάω. τόδε βιβλίον ἀμφὶ χρόνοιο
Δαιμόνιόν τι πέφυκε, καὶ οὐ μεροπήιον ἔργον,
Ἄφθονος οὐρανίης πνοιῆς ῥόος. ἔσθενε μέν που,
Ὡς τόδε, πολλὰ καὶ ἄλλα βροτῶν εἰς θάμβος ὑφαίνειν,
Αἰετὸς ὡς τανάοιο δι' αἰθέρος ὕψι ποτᾶται,
Ἀλλὰ νόος στέλλων χαμάδις πτερὸν, ἄρμενα τεύχει.
Χαίρει δ' ἀρχαίων λογοδαίδαλα γράμματα φωτῶν
Ἐκφράζων, ἀπὸ δέ σφισι λύματα δεινὰ καθαίρων.
Ἐξ οὗ δὴ πελάταις Μουσέων πάγκοινον ὄνειαρ,
Καὶ χάρις οὐ θνήσκουσα τὸν εὖ ἔρξαντα κομίζει.

*Fortuna vitae.*

Ἀλλὰ τίς αἶσα λέλογχε τὸν αἰεὶ χρήσιμον ἄνδρα;
Ἐκ γενετῆς τρηχεῖα, κεληϊόωντι δ' ἔοικεν.
Πλαγκτὸν γὰρ βίον ἔσχε, πολυτλὰς ὥσπερ Ὀδυσσεύς,
Πυκνὰ σαλευόμενος φθονερῆς στροφάδεσσιν ἀέλλης.
Πολλὰ δ' ἀεὶ ψυχῇ ταλασίφρονι κήδεα πέσσει.

*Adversarii. & constantia invicta.*

Ἄλγεα δ' αὖ χαλεπὸν μετὰ δαίμονα ποικίλ' ἄεξον
Θῆρες ἀπαίδευτοι, λυσσήρεες, ἠδὲ κακουργοί.
Οἷς φθόνος ἄγριον οἶστρον ἐνὶ στέρνοισιν ὀρίνει.
Ἄντα μὲν οὐ τολμῶσιν, ὀπισθοβόλοις δὲ μέμασι
Χραίνειν λωβητῆρες ὀνείδεσιν εὐκλέα φήμην.

*Simile.*

Ὡς σκύλακες, δάκνειν οἷς οὐ σθένος ὄμβριμον ἵππον,
Ἀμφὶ δὲ ποσσὶ θέοντες ὑλακτέουσιν ἀναιδῶς.
Οὐδ' ὅγε λακτίζειν περ ἔχων ἐμπάζετ' ἐκείνων.
Ὡς ὅγ' ἀνικήτοιο μένει φρενὸς οὐκ ὄθετ' αὐτῶν,
Οὐδὲ βυθιζόμενος πίπτει βιότοιο θυέλλαις,
Μέχρις ἀκυμάντοιο πάτρης εἰς ὅρμον ἱκέσθαι.

*Votum.*

Χαίροις χρύσεον ἦμαρ, ἐμοὶ καὶ πάντεσιν ἐσθλοῖς.
Χρυσείοις δὲ τύποισιν ἐφημερίδεσσι γραφείης.

Ἡ γὰρ

Ἦ γὰρ χρύσεον ἄνδρα βροτοῖς προφόωσδε κόμισσαι
Δῖον Ἰώσηφον, Σκαλανίδος ὄμμα γενέθλης.
ᾧ μετ' εὐφροσύνης μάλα δηθάκις ὕστερον ἔλθοις.

*Dedicatio.*

Χαίροις Σκαλανῶν σὺ μέγα κλέος εὐπατριδάων.
Δῶρον δ' εὖ τὸ δέδεξο γαληνιόωντι προσώπῳ,
Ὄψιμον ὥσ' ἥρωα σεβάζομαι ἠδ' ἀγαπάζω,
Καὶ χαρίτων σοῦ κόσμον, ὀλυμπόθεν ἧσι κέκασσαι.
Τιμᾷ γὰρ Μούσας χάριτάς θ', ὅστις σὲ γεραίρει.
Μούσας δ' αὖ στυγέει χάριτάς θ' ἅμα, πᾶς σέ γ' ἀτίζων.

---

ARAs Virgilio ponebat Iulius olim (œstro
SCALIGER. At pro tam generoso Carminis
IVLIADAE dicti, quo se Cor jactet Homeri;
Ponerem ego hîc Aras RHODOMANO, Scaliger
essem.

*Frid. Taubmanus, Francus:*
*Professor publ.*